**Documentazione dell'arcadico-cipriota-panfilio**

1. a) Hesych. θ 937 L. θύρδα· ἔξω. Ἀρκάδες
   b) Strab. VIII 8,4 τῶν βερέθρων, ἃ καλοῦσιν οἱ Ἀρκάδες ζέρεθρα
   c) *IG* V/2 262 (= *SEG* XI 1087 = *DGE* 661: 490-460 a.C.) ὁͱέοι ἂν χρε̄στέ̄ριον κακρίνε̄ ε̄̓ γνο̄σιδίκα κριθέ̄ε̄ το̄ν χρε̄μάτο̄ν, π̣ὲ τοῖς ϝοικιάταις τᾶς θεõ ε̄̂ναι, κὰ ϝοικίας δάσασσθαι τὰς ἄνο̄δ᾽ ἐάσας. εἰ τοῖς ϝο̄φλε̄κόσι ἐπὶ τοῖδ᾽ ἐδικάσαμες ἅ τε θεὸς κὰς οἱ δικασσταί, ἀπυͱεδομίν[ο̄ς] το̄ν χρε̄μάτο̄ν τὸ λάχος, ἀπεχομίνο̄ς κὰ το̄̂ρρέντερον γένος ε̄̂ναι ἄματα πάντα ἀπὺ τοῖ ἱεροῖ, ἵλαον ε̄̂ναι· εἰ δ᾽ ἄλλ̣αͱι[ς] ἐᾶτοι κὰ τόνν[υ], ἰνμενφὲς ε̄̂ναι.

2. a) Hesych. α 4697 L. † ἄνδα· αὔτη. Κύπριοι
   b) Hesych. κ 3608 L. κόρζα· καρδία. Πάφιοι
   c) Hesych. μ 1768 L. μοχοῖ· ἐντός. Πάφιοι
   d) Hesych. π 1028 H. πέσ<σ>ον· ὅρος· χωρίον Κύπριοι· πεδίον Αἰολεῖς· τινὲς ὁμαλές

3. a) Hesych. α 105 L. ἀβέλιον· ἥλιον (p) † Κρῆτες
   b) Hesych. α 1200 L. ἀδρί· ἀνδρί. Παμφύλιοι
   c) Hesych. αι 1676 L. αἰβετός· ἀετός. Περγαῖοι
   d) Hesych. ζ 92 L. ζειγάρη· ὁ τέττιξ παρὰ Σιδήταις
   e) Hesych. λ 433 L. λάφνη· δάφνη. Περγαῖοι
   f) *SGDI* 1260 (2a metà III sec. a.C.) [N]ε̣ϝ[ό]πολις Ἀφορδισίι[υ] Νεϝοπόλεις δαμιοργίσο̄σα περτέ̣δο̄κε ἰς ἐρέμνι καὶ πυλõνα ἀ̣ργύρυ μνᾶς φίκατι
   g) Brixhe 154 (II sec. a.C.) Ἀρτιμιδώρα καὶ Μειναδώρα Ὀρουμνείϝους φιλάδελφαι. Πελδώνεις Δριμάραυ ἐπέγραψε Μούβᾱ

4. a) *Il.* I 1-7 Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος / οὐλομένην, ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκε, / πολλὰς δ᾽ ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν / ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν / οἰωνοῖσί τε πᾶσι, Διὸς δ᾽ ἐτελείετο βουλή, / ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε / Ἀτρεΐδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.
   b) *Il.* I 413-418 τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα· / ὤ μοι τέκνον ἐμόν, τί νύ σ᾽ ἔτρεφον αἰνὰ τεκοῦσα; / αἴθ᾽ ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων / ἧσθαι, ἐπεί νύ τοι αἶσα μίνυνθά περ οὔ τι μάλα δήν· / νῦν δ᾽ ἅμα τ᾽ ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων / ἔπλεο· τώ σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισι.
   c) *Il.* I 117-120 βούλομ᾽ ἐγὼ λαὸν σῶν ἔμμεναι ἢ ἀπολέσθαι· / αὐτὰρ ἐμοὶ γέρας αὐτίχ᾽ ἑτοιμάσατ᾽ ὄφρα μὴ οἶος / Ἀργείων ἀγέραστος ἔω, ἐπεὶ οὐδὲ ἔοικε· / λεύσσετε γὰρ τό γε πάντες ὅ μοι γέρας ἔρχεται ἄλλῃ.